domus: in republica autem liberorũ & æqualiũ eſt gubernatio. Dominus ergo non dicitur ſecundũ ſcientiam, ſed quia eſt talis, eodémque modo & ſeruus & liber. Scientia verò eſt & dominica, & ſeruilis. Seruilis quidem, qualẽ Syracuſis ille docebat. nam ibi quidam mercede pueros docebat ſeruitutem. Fuerit ſanè etiam cõplurium talium diſciplina, ceu coquinaria, & alij huius generis famulatus. ſunt enim opera alia honeſtiora aliis, alia verò neceſſaria magis, & vt eſt in prouerbio, ſeruus præ ſeruo dominus præ domino. hæ igitur omnes ſcientiæ ſeruiles ſunt. Domini autem ſcientia eſt, per quam vtitur ſeruis. nam dominus eſt, non in poſſidendo ſeruos, ſed in vtendo ſeruis. Continet autem hæc ſcientia non magnum aliquid, neque glorioſum. quæ enim ſeruum ſcire facere oportet, illum oportet ſcire iubere. Quapropter quibuſcunque eſt facultas à laboribus ceſſandi, vicarius quidem hunc honorem ſuſcipit, ipſi autem reipublicæ adminiſtrandæ, aut ſtudiis philoſophiæ intendunt. Acquirendi verò diſciplina, alia eſt ab vtraque iſtarum, ceu bellica quędam iuſta, aut venatica. De ſeruo igitur & domino in hũc modum determinatum ſit.

CAPVT VIII.

Omnino autem de vniuerſa poſſeſſione & de acquiſitione intuebimur ſecundum antecedentem modum, quandoquidem & ſeruus poſſeſſionis erat pars. Primùm igitur dubitaret vtique aliquis, vtrum illa diſciplina, quæ ad acquirendũ ſpectat, idem ſit quod facultas rei familiaris, vel pars aliqua eius, vel miniſtra. Et ſi miniſtra, vtrum quemadmodum pectinaria textoria: aut quemadmodum æraria, ſtatuarię. non enim eodem modo ſubminiſtrãt: ſed altera quidem organa præbet, altera materiam. Dico autem materiã, ceu id quod ſubiacet, ex quo aliquod perficitur opus, ceu textori lana, ſtatuario æs. Quòd quidem igitur non ſit eadem rei familiaris diſciplina illi, quæ pertinet ad acquirendum, manifeſtum eſt. Nam huius quidem parare eſt, illius verò vti. quæ enim vtitur his quæ ſunt in domo, niſi rei familiaris diſciplina? Séd vtrum ſit eius pars, vel alia ſpecies, dubitationem habet. Nam ſi eſt diligentis patrisfamilias videre quomodo pecuniæ & poſſeſſiones aſſint: poſſeſſio autem & pecuniæ multas

A πᾶς οἶκος· ἡ δὲ πολιτικὴ, ἐλευθέρων καὶ ἴσων
ἀρχή. ὁ μὲν οὖν δεσπότης οὐ λέγεται κατ' ἐ-
πιστήμην, ἀλλὰ τῷ τοιόσδ' εἶναι. ὁμοίως δὲ
καὶ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος. ἐπιστήμη δ' ἂν
εἴη καὶ δεσποτικὴ, καὶ δουλική. δουλικὴ μὲν,
οἵαν περ ὁ ἐν Συρακούσαις ἐπαίδευεν. ἐκεῖ
γὰρ λαμβάνων τις μισθὸν ἐδίδασκε τὰ ἐγ-
κύκλια διακονήματα τοὺς παῖδας. εἴη δ' ἂν
B καὶ ἐπὶ πλεῖον τῶν τοιούτων μάθησις, οἷον ὀ-
ψοποιϊκὴ, καὶ τἄλλα τὰ τοιαῦτα γένη τῆς
διακονίας. ἔστι γὰρ ἕτερα ἑτέρων, τὰ μὲν ἐντι-
μότερα ἔργα, τὰ δ' ἀναγκαιότερα· καὶ κατὰ
τὴν παροιμίαν,

Δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δε-
σπότου.

αἱ μὲν οὖν τοιαῦται πᾶσαι δουλικαὶ ἐπιστῆ-
C μαί εἰσι. δεσποτικὴ δ' ἐπιστήμη ἐστὶν,
ἡ χρηστικὴ δούλων. ὁ γὰρ δεσπότης οὐκ ἐν τῷ
κτᾶσθαι τοὺς δούλους, ἐν τῷ χρῆσθαι δούλοις.
ἔστι δ' αὕτη ἡ ἐπιστήμη, οὐδὲν μέγα ἔχουσα, οὐ-
δὲ σεμνόν. ἃ γὰρ τὸν δοῦλον ἐπίστασθαι δεῖ ποιεῖν
ἐκεῖνον δεῖ ταῦτα ἐπίστασθαι ἐπιτάττειν. διὸ
ὅσοις ἐξουσία μὴ αὐτοὺς κακοπαθεῖν, ἐπί-
τροπος λαμβάνει ταύτην τὴν τιμήν· αὐτοὶ
D δὲ πολιτεύονται, ἢ φιλοσοφοῦσιν. ἡ δὲ κτητι-
κὴ ἑτέρα ἀμφοτέρων τούτων, οἷον ἡ δικαία,
πολεμική τις οὖσα, ἢ θηρευτική. περὶ μὲν οὖν
δούλου καὶ δεσπότου τοῦτον διωρίσθω τὸν
τρόπον.

Κεφάλαιον η.

Ὅλως δὲ περὶ πάσης κτήσεως καὶ χρη-
ματιστικῆς θεωρήσωμεν κατὰ τὸν ὑφη-
E γημένον τρόπον· ἐπείπερ καὶ ὁ δοῦλος τῆς κτή-
σεως μέρος τι ἦν. πρῶτον μὲν οὖν ἀπορήσειεν
ἄν τις, πότερον ἡ χρηματιστικὴ ἡ αὐτὴ τῇ
οἰκονομικῇ ἐστιν, ἢ μέρος τι, ἢ ὑπηρετική. καὶ εἰ
ὑπηρετικὴ, πότερον ὡς ἡ κερκιδοποιϊκὴ τῇ ὑ-
φαντικῇ, ἢ ὡς ἡ χαλκουργικὴ τῇ ἀνδριαντο-
ποιΐᾳ· οὐ γὰρ ὡσαύτως ὑπηρετοῦσιν, ἀλλ' ἡ μὲν
ὄργανα παρέχει, ἡ δὲ τὴν ὕλην. λέγω δὲ ὕ-
λην, τὸ ὑποκείμενον, ἐξ οὗ τι ἀποτελεῖται
F ἔργον, οἷον ὑφάντῃ μὲν ἔρια, ἀνδριαντοποιῷ
δὲ χαλκόν. ὅτι μὲν οὖν οὐχ ἡ αὐτὴ οἰκονο-
μικὴ τῇ χρηματιστικῇ δῆλον. τῆς μὲν γὰρ, τὸ
πορίσασθαι· τῆς δὲ, τὸ χρήσασθαι. τίς γὰρ ἔ-
σται ἡ χρησομένη τοῖς κατὰ τὴν οἰκίαν παρὰ
τὴν οἰκονομικήν; πότερον δὲ μέρος αὐτῆς ἐστί τι, ἢ ἕτερον εἶδος, ἔχει διαμφισβήτησιν. εἰ γάρ ἐστι
τοῦ χρηματιστικοῦ θεωρῆσαι πόθεν χρήματα καὶ κτῆσις ἔσται· ἡ δὲ κτῆσις πολλὰ περιείληφε μέρη,

καὶ